αὐτοῦ ἐν πολέμῳ, καὶ προσέθετο τὸν Βακχίδην καὶ τὸν Ἄλκιμον
ἐκ δευτέρου ἀποστεῖλαι εἰς γῆν Ιουδα καὶ τὸ δεξιὸν κέρας μετ᾽
αὐτῶν. [2]καὶ ἐπορεύθησαν ὁδὸν τὴν εἰς Γαλγαλα καὶ παρενέβαλον 2
ἐπὶ Μαισαλωθ τὴν ἐν Αρβηλοις καὶ προκατελάβοντο αὐτὴν καὶ
ἀπώλεσαν ψυχὰς ἀνθρώπων πολλάς. [3]καὶ τοῦ μηνὸς τοῦ πρώτου 3
ἔτους τοῦ δευτέρου καὶ πεντηκοστοῦ καὶ ἑκατοστοῦ παρενέβαλον
ἐπὶ Ιερουσαλημ· [4]καὶ ἀπῆραν καὶ ἐπορεύθησαν εἰς Βερεαν ἐν εἴ- 4
κοσι χιλιάσιν ἀνδρῶν καὶ δισχιλίᾳ ἵππῳ. [5]καὶ Ιουδας ἦν παρεμβε- 5
βληκὼς ἐν Ελασα, καὶ τρισχίλιοι ἄνδρες μετ᾽ αὐτοῦ ἐκλεκτοί. [6]καὶ 6
εἶδον τὸ πλῆθος τῶν δυνάμεων ὅτι πολλοί εἰσιν, καὶ ἐφοβήθησαν
σφόδρα· καὶ ἐξερρύησαν πολλοὶ ἀπὸ τῆς παρεμβολῆς, οὐ κατελεί-
φθησαν ἐξ αὐτῶν ἀλλ᾽ ἢ ὀκτακόσιοι ἄνδρες. [7]καὶ εἶδεν Ιουδας ὅτι 7
ἀπερρύη ἡ παρεμβολὴ αὐτοῦ καὶ ὁ πόλεμος ἔθλιβεν αὐτόν, καὶ
συνετρίβη τῇ καρδίᾳ, ὅτι οὐκ εἶχεν καιρὸν συναγαγεῖν αὐτούς,
[8]καὶ ἐξελύθη καὶ εἶπεν τοῖς καταλειφθεῖσιν Ἀναστῶμεν καὶ ἀνα- 8
βῶμεν ἐπὶ τοὺς ὑπεναντίους ἡμῶν, ἐὰν ἄρα δυνώμεθα πολεμῆσαι
πρὸς αὐτούς. [9]καὶ ἀπέστρεφον αὐτὸν λέγοντες Οὐ μὴ δυνώμεθα, 9
ἀλλ᾽ ἢ σῴζωμεν τὰς ἑαυτῶν ψυχὰς τὸ νῦν, ἐπιστρέψωμεν καὶ οἱ
ἀδελφοὶ ἡμῶν καὶ πολεμήσωμεν πρὸς αὐτούς, ἡμεῖς δὲ ὀλίγοι.
[10]καὶ εἶπεν Ιουδας Μὴ γένοιτο ποιῆσαι τὸ πρᾶγμα τοῦτο, φυγεῖν 10
ἀπ᾽ αὐτῶν, καὶ εἰ ἤγγικεν ὁ καιρὸς ἡμῶν, καὶ ἀποθάνωμεν ἐν ἀν-
δρείᾳ χάριν τῶν ἀδελφῶν ἡμῶν καὶ μὴ καταλίπωμεν αἰτίαν τῇ
δόξῃ ἡμῶν. [11]καὶ ἀπῆρεν ἡ δύναμις ἀπὸ τῆς παρεμβολῆς καὶ ἔστη- 11
σαν εἰς συνάντησιν αὐτοῖς, καὶ ἐμερίσθη ἡ ἵππος εἰς δύο μέρη,
καὶ οἱ σφενδονῆται καὶ οἱ τοξόται προεπορεύοντο τῆς δυνάμεως,
καὶ οἱ πρωταγωνισταὶ πάντες οἱ δυνατοί, Βακχίδης δὲ ἦν ἐν τῷ
δεξιῷ κέρατι. [12]καὶ ἤγγισεν ἡ φάλαγξ ἐκ τῶν δύο μερῶν καὶ ἐφώ- 12
νουν ταῖς σάλπιγξιν, καὶ ἐσάλπισαν οἱ παρὰ Ιουδου καὶ αὐτοὶ ταῖς
σάλπιγξιν· [13]καὶ ἐσαλεύθη ἡ γῆ ἀπὸ τῆς φωνῆς τῶν παρεμβολῶν, 13
καὶ ἐγένετο ὁ πόλεμος συνημμένος ἀπὸ πρωίθεν ἕως ἑσπέρας.
[14]καὶ εἶδεν Ιουδας ὅτι Βακχίδης καὶ τὸ στερέωμα τῆς παρεμβολῆς 14
ἐν τοῖς δεξιοῖς, καὶ συνῆλθον αὐτῷ πάντες οἱ εὔψυχοι τῇ καρδίᾳ,

1 εν πολεμω VLa†] εν > S*L*, πολεμον A | βακχχιδην S*† ($S^c$ deleuit κ): cf. 7 8 || 2 παρενεβαλοσαν A | μεσσαλωθ $A^{(†)}$ | αυτην] -τους S*† | απωλεσαν] -σεν A | ψυχας] pr. εις S† || 3 του $3^0$ > A | επι] εις A† || 4 δισχιλια] -ασιν A† | ιππω mu.] + ν AV, ιππον S || 5 ελασα] αλ. A | μετ αυτου / εκλεκτοι] tr. A || 8 ημων] ημιν A† | προς > A || 9 απεστρεφον S*VLa pau.] -εψαν rel. | αυτον] -τους S*† | δυνησωμεθα A | σωζομεν S*, σωσομεν $S^c$† | και οι αδ.] μετα των αδελφων A || 10 μη $1^0$ SVLa†] + μοι rel. | τουτο > S† | ει > A | και $3^0$ > S*L* | εν ανδρ(ε)ια La] εν > A, ανδριως S† | ημων paenult. > S*† || 11 προσεπορ. S*V† || 12 και εσαλπ.] + και A | ιουδου: cf. 3 25 || 13 εσαλ.] εσ(ε)ισθη A† | της φ. των παρεμβ.] των παρεμβ. αυτων A† | συνηγμενος AV† | εως] μεχρι S† || 14 εν > S†